eul_wid: iso-aq

*Καλλίμαχος ὁ Κυρηναῖος* · Callimachus of Cyrene the Poet and Scholar

# Hecale

*Ἑκάλη*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ λογοτεχνική* Literary Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise

238 ΕΚΑΛΗ Ἀκταίη τις ἔναιεν Ἐρεχθέος ἔν ποτε γουνῷ τίον δέ ἑ πάντες ὁδῖται ἦρα φιλοξενίης· ἔχε γὰρ τέγος ἀκλήιστον ἡ δ' ἐκόησεν, τοὔνεκεν Αἰγέος ἔσκεν ἴσχε τέκος, μὴ πῖθι παρὲκ νόον εἰλήλουθας ἐν γάρ μιν Τροιζῆνι κολουραίῃ ὑπὸ πέτρῃ θῆκε σὺν ἁρπίδεσσιν εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσσασθαι ἄρκιος ᾖ χείρεσσιν, ἑλὼν Αἰδήψιον ἆορ 〈 καὶ τὰ〉 πέδιλα, τὰ μὴ πύσε νήχυτος εὐρώς . . . . . . . .

238 ] ..... μεν .. φ ... [ ]κέλευε δὲ μήποτ' ἐλέγξα[ι ]νε . η δ' ὑπὸ πάντας ἀέθλου[ς ] σόον δέ κεν α[ὖ]θι δέχοιο ]δ ...΄ .. εχ .. ά ... [ ] . αρὴν κεκύθεσθε κ . [ ] ... [ . ] ΄ .. νε . [ ]ε δ' ἦν τόδε χειραεσα[ ]τας ἀκὴν ἔχε· τῇ δε . [ ]ν . ου αἰσυμνῆτισ[ ἥ τ' ἄκρησθ ΐ να Γλαυκώπιον ἵζε ι ] εν ἀεὶ περὶ πότνια γα[ ]ς ὅθι πτολέμοιό μ' ἐπ . [ ] . [ ] ΄ [ . . . . . . . .

238 ὄφρα μὲν οὖν ἔνδιος ἔην ἔτι, θέρμετο δὲ χθών, τόφρα δ' ἔην ὑάλοιο φαάντερος οὐρανὸς ἦνοψ οὐδέ ποθ ι κν ηκὶς ὑπεφαίνετο, πέπτατο δ' αἰθήρ ἀν[ν] έφελος· σ[ μητέρι δ' ὁππ[ότε δειελὸν αἰτίζ ουσιν, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου, τῆμος ἄρ' ἐξ . [ . ] ... [ πρῶτον ὑπὲρ Πά[ρνηθος,] ἐπιπρὸ δὲ μᾶσσον ἐπ' ἄκρου Αἰγαλέως θυμόε ντος, ἄγων μέγαν ὑετόν, ἔστη· τῷ δ' ἐπ[ὶ] διπλόον . [ τρηχέος Ὑμηττ[οῖο ἀστεροπα[ὶ] σελάγι[ζον οἷ[ο]ν ὅτε κλονέ . [ Αὐσόν[ι]ον κατὰ π[όντον ἡ δ' ἀπὸ Μηρισοῖο θ οὴ βορέαο καταῖξ εἰσέπεσεν νεφέλ[ῃσιν ... [ .. ] ν ὅθ[ ]ερ . [ . . . . . . . .

238a . . .

238a ] .. [ ] ..... [ ]μεν ἐνισπ[ ] . [ . . .

238b . . .

238b ] . [ ]ίω . [ ]βυ[ ]κ[ . ] . [ .. ] . πεθ . [ . . .

238c . . .

238c ] . σον ... [ ]δεν . [ . . .

238d . . .

238d ]γενοιτο[ ]μοιαη[ . . .

243 διερὴν δ' ἀπεσείσατο λαίφην τὸν μὲν ἐπ' ἀσκάντην κάθισεν αὐτόθεν ἐξ εὐνῆς ὀλίγον ῥάκος αἰθύξασα παλαίθετα κᾶλα καθῄρει δανὰ ξύλα ... κεάσαι ...

253 αἶψα δὲ κυμαίνουσαν ἀπαίνυτο χυτρίδα κοίλην φράσον δέ μοι, εἰς ὅ τι τεῦχος χεύωμαι ποσὶ χύτλα καὶ ὁππόθεν ἐκ δ' ἔχεεν κελέβην, μετὰ δ' αὖ κερὰς ἠφύσατ' ἄλλο τινθαλέοισι

κατικμήναιντο λοετροῖς γεργέριμον πίτυρίν τε καὶ ἣν ἀπεθήκατο λευκήν εἰν ἁλὶ νήχεσθαι φθινοπωρίδα ἐκ δ’ ἄρτους σιπύηθεν ἅλις κατέθηκεν ἑλοῦσα οἵους βωνίτῃσιν ἐνικρύπτουσι γυναῖκες ἐ]ς Μαραθῶνα κατέρχομαι ὄφρα κ[ . ]παρ .. Παλλὰς] δὲ καθηγήτειρα κελεύθου. τὼς ἄρ’ ἐμεῦ μεμάθ]ηκας ἅ μ’ εἴρεο· καὶ σύ [γε] μαῖα λέξον, ἐπεὶ καὶ ἐμο]ί τι ποθὴ σέο τυτθὸν ἀκοῦσαι ]γρηῢς ἐ[ρη]μαίῃ ἔνι ναίεις ] . ι γενέθλη.

253 * . . . . . . . .... ομενην ........... [ τὸν δ’ ἀπ’ Ἀφιδνάων ἵπποι φ[έρον ἢ βασιλεῦσιν εἴκελον, οἵ τ’ εἶεν Διὸς υἱέε[ς, ἢ θεῷ αὐτῷ.

253 μέμνημαι καλὴν μὲν α[ ἄλ λ ικα χρυσείῃσιν ἐεργομ ένην ἐνετῇσιν, ἔργον ἀρα χνάω ν ... ] ΄ .. [ . . . . . . . .

260 οὐ γάρ μοι πενίη πατρώιος, οὐδ’ ἀπὸ πάππων εἰμὶ λιπερνῆτις· βάλε μοι, βάλε τὸ τρίτον εἴη δινομένην πέρι βουσὶν ἐμὴν ἐφύλασσον ἅλωα λέξομαι ἐν μυχάτῳ· κλισίη δέ μοί ἐστιν ἑτοίμη ὡς ἔμαθεν κἀκεῖνον ἀνιστάμενον θηρὸς ἐρωήσας ὀλοὸν κέρας ὁ μὲν εἷλκεν, ὁ δ’ εἵπετο νωθρὸς ὁδίτης ...... ἑτέρην περίαπτε καὶ εἰν ἄορ ἧκεν[ ὡς ἴδον, ὡ[ς] ἅμα πάντες ὑπ[έ]τρεσ[α]ν ἠδ[ὲ φόβη]θεν ἄνδρα μέγαν καὶ θῆρα πελώριον ἄντ[α ἰ]δέσθαι, μέσφ’ ὅτε δὴ Θησεύς φιν ἀπόπροθι μακρὸν ἄϋσε· ‘μίμνετε θαρσήεντες, ἐμῷ δέ τις Αἰγέϊ πατρί νεύμενος ὅς τ’ ὤκιστος ἐς ἄστυρον ἀγγελιώτης ὧδ’ ἐνέποι—πολέων κεν ἀναψύξειε μεριμνέων—· Θησεὺς οὐχ ἑκὰς οὗτος, ἀπ’ εὐύδρου Μαραθῶνος ζ]ῳὸν ἄγων τὸν ταῦρον.‘ ὁ μὲν φάτο, τοὶ δ’ ἀίοντες π]άντες [ἰ]ὴ παιῆον ἀνέκλαγον, αὖθι δὲ μίμνον. οὐχὶ νότος τόσσην γε χύσιν κατεχεύατο φύλλων, οὐ βορέης οὐδ’ αὐτὸς ὅτ’ ἔπλετο φυλλοχόος μείς, ὅ]σσα τότ’ [ἀ]γ[ρ]ῶσται περί [τ’] ἀμφί [τ]ε Θησέϊ βάλλον, οἵ μιν ἐκυκλώσαν]το περισταδόν, αἱ δὲ γυναῖκες στόρνῃσιν ἀνέστεφον *........................ καί ῥ’ ὅτ’ ἐποφ[ .. ] ........ ἐφ’ ὃν ἄν τιν’ ἕκαστοι Οὐρανίδαι . ἐπάγοιεν ἐμῷ πτ[ε]ρῷ, ἀλλά ἑ Παλλάς τῆς μὲν ἔσω δηναιωναφη δρ[ό]σον Ἡφαίστοιο με . φ . οτε Κεκροπιδ ..... επ ......... λ . αν λάθριον ἄρρητον, γενεῇ δ’ ὅθεν οὔτε νιν ἔγνων οὔτ’ ἐδάην, φήμη δὲ κατ’ ὠγυγίους εφαν[ . ]υται οἰωνούς, ὡς δῆθεν ὑφ’ Ἡφαίστῳ τέκεν αἶα. τουτάκι δ’ ἡ μὲν ἑῆς ἔρυμα χθονὸς ὄφρα βάλοιτο, τήν ῥα νέον ψήφῳ τε Διὸς δυ[ο]καίδεκά τ’ ἄλλων ἀθανάτων ὄφιός τε κατέλλαβε μαρτυρίῃσιν, Πελλήνην ἐφίκανεν Ἀχαιίδα· τόφρα δὲ κοῦραι αἱ φυλακοὶ κακὸν ἔργον [ἐ]πεφράσσαντο τελέσσαι, κίστης .............. δεσμά τ’ ἀνεῖσαι.

260.(50) *....................... ....................... ....................... ....................... ........................... Ἀθήνης ........ μοῦναι δὲ παραπτυ ...... κορῶναι δαίμοσιν· οὐ γὰρ ἔγωγε τεόν ποτε πότνια θυ[μ]όν ........ ὅσα πολλὰ παραίσια μήποτ’ ἐλαφροί .. σομεν οἰωνοί, τότε δ’ ὤφελον ........... οὕτως ἡμετέρην μὲν ἀπέπτυσεν, οὐδὲ γενέθλην ........................ ἀλλὰ πέσοιο μηδέ ποτ’ ἐκ θυμοῖο βαρὺς χόλος αἰὲν Ἀθήνης· αὐτὰρ ἐγὼ τυτθὸς παρέ[ην γ]όνος· [ὀ]γδ[ο]άτ[η] γάρ ἤδη μοι γενεὴ πέλ[εται], δεκάτη δὲ τοκεῦσι * . . . . . . . ] . ελει[ ]νον π[ καὶ κρῖμνον κυκεῶνο ς ἀποστάξαντος ἔραζε· ] . ουτις ἐπέσσεται[ ]ν[ . ] κακάγγελον· εἴθε γὰρ [εἴης κεῖνον ἔτι] ζώουσα κατὰ χρόνον, ὄφρα τ[όδ’ εἰδ]ῇς ὡσ] Θριαὶ τὴν γρηῢ ν ἐπιπνείουσι κορών ην ] ου γὰρ[ .. ] . πάντ’ ἤματα, ναὶ μ ὰ τὸ ῥικνόν σῦφαρ ἐμό ν, ναὶ το ῦ το τὸ δένδ ρ εον αὖον ἐόν περ ] . αόν τε κ[α]ὶ ἄξονα καυάξαντες ] . έων εἴσω πόδα πάντες ἔχουσι· δεί]ελος ἀλλ’ ἢ νὺξ ἢ ἔνδιος ἢ ἔσετ’ ἠώς, εὖτε κόραξ, ὃς νῦν γε καὶ ἂν κύκνοισιν ἐρίζοι καὶ γάλακι χροιὴν καὶ κύματος ἄκρῳ ἀώτῳ, κυάνεον φὴ πίσσαν ἐπὶ πτερὸν οὐλοὸν ἕξει, ἀγγελίης ἐπίχειρα, τά οἵ ποτε Φοῖβος ὀπάσσει, ὁππότε κεν Φλεγύαο Κορωνίδος ἀμφὶ θυγατρός Ἴσχυϊ πληξίππῳ σπομένης μιερόν τι πύθηται.‘ τὴν μὲν ἄρ’ ὣς φαμένην ὕπνος λάβε, τὴν δ’ ἀίουσαν. καδδραθέτην δ’ οὐ πολλὸν ἐπὶ χρό[νον], αἶψα γὰρ ἦλθεν στιβήεις ἄγχαυρος, ὅτ’ οὐκέτι χεῖρες ἔπαγροι φιλητέων· ἤδη γὰρ ἑωθινὰ λύχνα φαείνει· ἀείδει καί πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον· ἔγρει καί τιν’ ἔχοντα παρὰ πλόον οἰκίον ἄξων τετριγὼς ὑπ’ ἄμαξαν, ἀνιάζουσι δὲ πυκνοι . δμῶοι χαλκῆες κωφώμενοι ἔνδον ἀκουήν . . . . . . . .

377

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ μὲν ἀερτάζουσα μέγα τρύφος ὑψίζωνος ἄστυρον εἰσανέβαινεν, ἐγὼ δ’ ἤντησα Λυκείου καλὸν ἀεὶ λιπόωντα κατὰ δρόμον Ἀπόλλωνος τίνος ἠρίον ἵστατε τοῦτο; ἴθι, πρηεῖα γυναικῶν, τὴν ὁδόν, ἣν ἀνίαι θυμαλγέες οὐ περόωσι. πολλάκι σεῖό 〈γε〉 , μαῖα, φιλοξείνοιο καλιῆς μνησόμεθα· ξυνὸν γὰρ ἐπαύλιον ἔσκεν ἅπασιν ὅθεν ἠληλούθειν πολυπτῶκές τε Μελαιναί γίνεό μοι τέκταινα βίου δαμάτειρά τε λιμοῦ ἔστιν ὕδος καὶ γαῖα καὶ ὀπτήτειρα κάμινος ὁππότε λύχνου δαιομένου πυρόεντες ἅδην ἐγένοντο μύκητες γέντο δ’ ἀλυκρά σὺν δ’ ἡμῖν ὁ πελαργὸς ἀμορβεύεσκεν ἀλοίτης ἄνδρες ἐλαιοὶ Δεκελειόθεν ἀμπρεύοντες Ἀπόλλωνος ἀπαυγή ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος ἄνθει ἑλιχρύσῳ ἐναλίγκιος πάσχομεν ἄστηνοι· τὰ μὲν οἴκοθε πάντα δέδασται δέκα δ’ ἄστριας αἴνυτο λάτρον βόες ἧχι γέγειαι ἄνθεα μήκωνός τε καὶ ἤνοπα πυρὸν ἔδουσι τοὔνεκα καὶ νέκυες πορθμήιον οὔτι φέρονται μούνῃ ἐνὶ πτολίων, ὅ τε τέθμιον οἰσέμεν ἄλλους δανοῖς ἐν στομάτεσσι αὐτίκα Κενθίππην τε πολύκρημνόν τε Πρόσυμναν καὶ δόνακι πλήθοντα λιπὼν ῥόον Ἀστερίωνος τὺ δ’ ἐγκυτὶ τέκνον ἐκέρσω ὀκκόσον ὀφθαλμοὶ γὰρ ἀπευθέες, ὅσσον ἀκουή εἰδυλίς ἵν’ ἔλλερα ἔργα τέλεσκεν τώ μοι ἀναδραμέτην ἅτε κερκίδες Δηώ τε Κλυμένου τε πολυξείνοιο δάμαρτα αὖτις ἀπαιτίζουσαν ἑὴν εὐεργέα λάκτιν η ἄφαρον φαρόωσι, μέλει δέ φιν ὄμπνιον ἔργον Σκύλλα γυνὴ κατακᾶσα καὶ οὐ ψύθος οὔνομ’ ἔχουσα πορφυρέην ἤμησε κρέκα ἀλλὰ σὺ μὲν σιπαλός τε καὶ ὀφθαλμοῖσιν ἔφηλος ἡνίκα μὲν γὰρ φαίνεται τοῖς ἀνθρώποις ταῦτα αὐτοὶ μὲν φιλέους’, αὐτοὶ δέ τε πεφρίκασιν, ἑσπέριον φιλέουσιν, ἀτὰρ στυγέουσιν ἑῷον ἔπρεπέ τοι προέχουσα κάρης εὐρεῖα καλύπτρη, ποιμενικὸν πίλημα, καὶ ἐν χερὶ χαῖον ἔχουσα στάδιον δ’ ὑφέεστο χιτῶνα ὅς ῥ’ ἔφυγεν μέν Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων σὺν δ’ ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ’ ἄειρεν ἐπεὶ θεὸς οὐδὲ γελάσσαι ἀκλαυτὶ μερόπεσσιν ὀιζυροῖσιν ἔδωκεν Αἴσηπον ἔχεις, ἑλικώτατον ὕδωρ, Νηπείης ἥ τ’ ἄργος, ἀοίδιμος Ἀδρήστεια, ἔκ με Κολωνάων τις ὁμέστιον ἤγαγε δήμου τῶν ἑτέρων βουσόον ὅν τε μύωπα βοῶν καλέουσιν ἀμορβοί οἵ νυ καὶ Ἀπόλλωνα παναρκέος Ἠελίοιο χῶρι διατμήγουσι καὶ εὔποδα Δηωίνην Ἀρτέμιδος κενεὸν πόνον ὀτλήσοντες ἀμφὶ δέ οἱ κεφαλῇ νέον Αἱμονίηθεν μεμβλωκὸς πίλημα περίτροχον ἄλκαρ ἔκειτο ἴδεος ἐνδίοιο Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς ποσσὶ δ’ ἀνελθεῖν ἄγκος ἐς ὑψικάρηνον ἐδίζετο· πᾶσα δ’ ἀπορρώξ πέτρη ἔην ὑπένερθε καὶ ἄμβασις οὔ νύ τις ἦεν ἀείπλανα χείλεα γρηός ἀήσυρον 〈–〉 γόνυ κάμψοι ἄκμηνον δόρποιο ἁλυκὸν δέ οἱ ἔκπεσε δάκρυ ἀμιθρῆσαι ἀπούατος ἄγγελος ἔλθοι ἀσταγὲς ὕδωρ σχέτλιαι ἀνθρώπων ἀφραστύες ἠέρος ἀχλύσαντος βέβυστο δὲ πᾶσα χόλοιο γαμβρὸς Ἐρεχθῆος γέντα βοῶν μέλδοντες γοεροῖο γόοιο οἰκίον εὖτε δέμοιμι δύην ἀπόθεστον ἀλάλκοι αἴθ’ ὄφελες θανέειν ἢ πανύστατον ὀρχήσασθαι αἰθυίης ὑπὸ πτερύγεσσιν ἔλυσαν πείσματα νηός ἧχι κονίστραι ἄξεινοι λύθρῳ τε καὶ εἴαρι πεπλήθασι νυκτὶ δ’ ὅλη βασιλῆας ἐλέγχομεν πότμον ἐλινύσειεν ἐπήλυσιν ὄφρ’ ἀλέοιτο φώριον ἐπιπρίσησιν ὀδόντας ἐπικλινές ἐστι τάλαντον εἰκαίην τῆς οὐδὲν ἀπέβρασε φαῦλον ἀλετρίς ἠέρος ὄγμοι ἑρπετὰ δ’ ἰλυοῖσιν ἐνέκρυφεν τὼ μὲν ἐγὼ θαλέεσσιν ἀνέτρεφον Θείας ἀμνάμων Κλεωναίοιο χάρωνος ἀφ’ ὑμέων κοκύῃσι καθημένη ἀρχαίῃσι Κωλιάδος κεραμῆες τοῦτο γὰρ αὐτήν κωμῆται κάλεον περιηγέες οὐδ’ οἷσιν ἐπὶ κτενὸς ἔσκον ἔθειραι λάτριν ἄγειν παλίνορσον ἀεικέα τῷ κεραμῆι τοιοῦτον γὰρ ὁ παῖς ὅδε λῆμα φαείνει γαστέρι μοῦνον ἔχοιμι κακῆς ἀλκτήρια λιμοῦ λίποιμι τὸ δέ μοι μαλκίστατον ἦμαρ ἠρνεόμην θανάτοιο πάλαι καλέοντος ἀκοῦσαι μὴ μετὰ δήν ἵνα καὶ ἐπὶ σοὶ θρηνήσω ἀποθανόντι ναὶ μὰ τόν νωσάμενος μέμβλετό μοι γέντο δ’ ἐρείκης σκηπάνιον 〈 〉 ὃ δὴ πέλε γήραος ὀκχή ὀκχήσασθαι ὄμπνιον ὕδωρ εἰ δὲ Δίκη σε πὰρ πόδα μὴ τιμωρὸς ἐτείσατο, δὶς τόσον αὖτις ἔσσεται, ἐν πλεόνεσσι παλίντροπος, εἷλε δὲ πασσαγίην, τόδε δ’ ἔννεπεν οἷος ἐκεῖνος ἀεὶ περιδέξιος ἥρως ἔτι πλοκάμοιο περίθριξ περιπηχύναντες καὶ ἀγλαὰ πίσεα γαίης βόσκεο πολύθρονον ποιηφάγον ῥυδὸν ἀφνύνονται τόδ’ ἔχω σέβας τοῦ μὲν ἐγὼ ζώοντος ἀναιδέσιν ἐμπήξαιμι σκώλους ὀφθαλμοῖσι καί, εἰ θέμις, ὠμὰ πασαίμην τέρπνιστον Αἴθρην τὴν εὔτεκνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπ’ ἀγρομένῃς ὑδέοιμι ὑδέουσιν ὑληωροί ἡ δὲ πελιδνωθεῖσα καὶ ὄμμασι λοξὸν ὑποδράξ ὀσσομένη θῆκε δὲ λᾶαν σκληρὸν ὑπόκρηνον ὅς τε φόβῃσι ξανθοτάταις ἐκόμα ψισθεῖεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org